ρευθῆναι εἰς γῆν ἀλλοφύλων καὶ διεπορεύετο τὴν Μαρισαν. [67]ἐν 67
τῇ ἡμέρᾳ ἐκείνῃ ἔπεσον ἱερεῖς ἐν πολέμῳ βουλόμενοι ἀνδραγαθῆσαι
ἐν τῷ αὐτοὺς ἐξελθεῖν εἰς πόλεμον ἀβουλεύτως. [68]καὶ ἐξέκλινεν 68
Ιουδας εἰς Ἄζωτον γῆν ἀλλοφύλων καὶ καθεῖλεν τοὺς βωμοὺς αὐ-
τῶν καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατέκαυσεν πυρὶ καὶ ἐσκύ-
λευσεν τὰ σκῦλα τῶν πόλεων καὶ ἐπέστρεψεν εἰς γῆν Ιουδα.
[1]Καὶ ὁ βασιλεὺς Ἀντίοχος διεπορεύετο τὰς ἐπάνω χώρας καὶ 6
ἤκουσεν ὅτι ἐστὶν Ἐλυμαϊς ἐν τῇ Περσίδι πόλις ἔνδοξος πλούτῳ,
ἀργυρίῳ καὶ χρυσίῳ· [2]καὶ τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλούσιον σφόδρα, 2
καὶ ἐκεῖ καλύμματα χρυσᾶ καὶ θώρακες καὶ ὅπλα, ἃ κατέλιπεν ἐκεῖ
Ἀλέξανδρος ὁ τοῦ Φιλίππου ὁ βασιλεὺς ὁ Μακεδών, ὃς ἐβασίλευ-
σεν πρῶτος ἐν τοῖς Ἕλλησι. [3]καὶ ἦλθεν καὶ ἐζήτει καταλαβέσθαι 3
τὴν πόλιν καὶ προνομεῦσαι αὐτήν, καὶ οὐκ ἠδυνάσθη, ὅτι ἐγνώσθη
ὁ λόγος τοῖς ἐκ τῆς πόλεως, [4]καὶ ἀντέστησαν αὐτῷ εἰς πόλεμον, 4
καὶ ἔφυγεν καὶ ἀπῆρεν ἐκεῖθεν μετὰ λύπης μεγάλης ἀποστρέψαι
εἰς Βαβυλῶνα. [5]καὶ ἦλθέν τις ἀπαγγέλλων αὐτῷ εἰς τὴν Περσίδα 5
ὅτι τετρόπωνται αἱ παρεμβολαὶ αἱ πορευθεῖσαι εἰς γῆν Ιουδα, [6]καὶ 6
ἐπορεύθη Λυσίας δυνάμει ἰσχυρᾷ ἐν πρώτοις καὶ ἐνετράπη ἀπὸ
προσώπου αὐτῶν, καὶ ἐπίσχυσαν ὅπλοις καὶ δυνάμει καὶ σκύλοις
πολλοῖς, οἷς ἔλαβον ἀπὸ τῶν παρεμβολῶν, ὧν ἐξέκοψαν, [7]καὶ 7
καθεῖλον τὸ βδέλυγμα, ὃ ᾠκοδόμησεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν
Ιερουσαλημ, καὶ τὸ ἁγίασμα καθὼς τὸ πρότερον ἐκύκλωσαν τείχε-
σιν ὑψηλοῖς καὶ τὴν Βαιθσουραν πόλιν αὐτοῦ. [8]καὶ ἐγένετο ὡς 8
ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τούτους, ἐθαμβήθη καὶ ἐσαλεύθη
σφόδρα καὶ ἔπεσεν ἐπὶ τὴν κοίτην καὶ ἐνέπεσεν εἰς ἀρρωστίαν
ἀπὸ τῆς λύπης, ὅτι οὐκ ἐγένετο αὐτῷ καθὼς ἐνεθυμεῖτο. [9]καὶ ἦν 9
ἐκεῖ ἡμέρας πλείους, ὅτι ἀνεκαινίσθη ἐπ᾽ αὐτὸν λύπη μεγάλη, καὶ
ἐλογίσατο ὅτι ἀποθνῄσκει. [10]καὶ ἐκάλεσεν πάντας τοὺς φίλους αὐ- 10
τοῦ καὶ εἶπεν πρὸς αὐτούς Ἀφίσταται ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν
μου, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς μερίμνης, [11]καὶ εἶπα τῇ 11
καρδίᾳ Ἕως τίνος θλίψεως ἦλθα καὶ κλύδωνος μεγάλου, ἐν ᾧ νῦν

66 μαρισαν La et Ioseph. ant. XII 353] σαμαριαν SA (-ρειαν pl.) || 67 εν $2^{0}$ > A: cf. 8 5 11 15 | βουλομενοι *L*] + αυτου S*†, -μενου αυτου A$S^{c}$La | αυτους *L*] -τον SA | πολεμον] pr. τον A || 68 και $2^{0}$ > S*† | κατεκαυσεν] pr. και S | πυρι > A† | γην ιουδα] pr. την compl., την ιουδαιαν A†

6 1 ελυμα(ε)ις *L*] εν λυμαις S, εν ελυμες(pro -μαις) A || 2 εκει $1^{0}$] εχει S† | μακεδων ος] -δονων S*(†) | πρωτος εν τοις ελλ.] πρ. εν αυτοις S†, τοις ελλ. πρωτος A† || 3 καταλαβεσθαι] -βειν A† || 4 αντεστ.] τ $1^{0}$ > A | απηρεν] λθ pro ρ A || 5 τις απαγγ.] tr. A | αυτω > S† | γην] την S† || 6 ενετραπη] αν. A | επισχυσαν] ενισχ. S† | και δυν. και σκυλ. πολλ. > A† | ων] και S† || 7 ο] και S† | ωκοδομησεν] -σαν VLa, -δομουν S† | καθως] και S*† | βαιθσουραν] ν > A: cf. 4 61 | πολ. αυτου > S*† || 8 ενεπεσ.] εν > S† || 10 ο υπνος / απο τ. οφθ. μου] tr. A | τη καρδ. / απο τ. μερ.] tr. S(†)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1111 UNIVERSITÄT LEIPZIG